# ΤΕΣΣΑΡΑΚΟΝΤΑΕΤΗΡΙΣ

# ΘΕΟΦΙΛΟΥ ΒΟΡΕΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

ΤΟΜΟΣ ΠΡΩΤΟΣ

ΕΝ ΑΘΗΝΑΙΣ
ΤΥΠΟΙΣ: "ΠΥΡΣΟΥ" Α. Ε.
1940

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΧΑΡΙΤΩΝΟΣ ΠΕΡΙ ΤΡΟΧΙΣΚΩΝ

ὑπὸ

ΑΡΙΣΤΟΤΕΛΟΥΣ Π. ΚΟΥΖΗ

Καθηγητοῦ τοῦ Πανεπιστημίου Ἀθηνῶν

Μεταξὺ τῶν ἀρχαίων ἰατρικῶν κωδίκων, περὶ τὴν μελέτην τῶν ὁποίων ἀπὸ ἐτῶν ἀσχολοῦμαι, οὐ μικροῦ διαφέροντος εἶναι καὶ ὁ κατὰ τὴν 16ην ἑκατονταετηρίδα γεγραμμένος ὑπ' ἀριθμ. 2240 κῶδιξ τῆς Ἐθνικῆς βιβλιοθήκης τῶν Παρισίων, περιλαμβάνων ἀπὸ φύλλου 1 - 39v φαρμακοθεραπευτικὸν ἔργον Χαρίτωνος, ἰατροῦ πιθανώτατα, ὑπὸ τὸν τίτλον «Περὶ τροχίσκων, κόκκων τε καὶ ξηρίων, ἐν οἷς καὶ περὶ ζουλαπίων καὶ κλυστήρων» (1).

Ἐκ τῆς ὅλης πραγματείας ἀποσπῶμεν νῦν τὸ *περὶ τροχίσκων* κεφάλαιον (φυλ. 1 - 11v) ἐπ' εὐκαιρίᾳ ἑορτασμοῦ τῆς 40ετηρίδος τοῦ σοφοῦ συναδέλφου κ. *Θεοφίλου Βορέα,* ἐπιφυλασσόμενοι ὅπως βραδύτερον πραγματευθῶμεν καὶ περὶ τοῦ λοιποῦ ἔργου καὶ τῆς σχέσεως αὐτοῦ πρὸς παρομοίας πραγματείας ἄλλων συγγραφέων.

Ὁ Χαρίτων ἀναφέρει ἐν ὅλῳ 45 σκευασίας τροχίσκων ὡς ἑξῆς:

## ΠΕΡΙ ΤΡΟΧΙΣΚΩΝ

***Τροχίσκοι τοῦ λαχάνου,*** ὠφελοῦσι πρὸς τὰς τοῦ ἥπατος διαθέ- φύλ. 1
σεις καὶ τοῦ σπληνὸς μετὰ θερμότητος καὶ ἐκφάνσεις τῶν οἰδημάτων.
Λαβὼν λαχάνου κεκαθαρμένου / καὶ ῥόδα ἐρυθρὰ καὶ σπόδιον λευκὸν φ. 1β
καὶ ἀψίνθιον ῥωμαϊκὸν καὶ εὐπατόριον ἀνὰ 〈γ', ῥέον ἰνδικὸν 〈ἡμίσ., σχίνου ἄνθος 〈β', κόψας σήσας φύρασον μετὰ χυλοῦ τοῦ μαράθρου ἢ τῶν ἰντίβων καὶ ποίει τροχίσκους ἀνὰ ἑξαγ. ἑνός. Πίνονται δὲ μετὰ χυλοῦ τῶν λαχάνων, ἁπλοῖ ἢ σύνθετοι μετὰ ὀξυσάκχαρος.

***Τροχίσκοι τοῦ ἰνδικοῦ ῥέου,*** λυσιτελοῦσι πρὸς τὰς ἐμφράξεις τοῦ ἥπατος καὶ τῆς σπληνός, δυναμοῦσι δὲ καὶ τὸν στόμαχον. Λαβὼν ῥόδα ξηρὰ καὶ ἀψίνθιον ῥωμαϊκὸν καὶ ῥέον ἰνδικὸν ἀνὰ δραχ. β.', σπόδιον καὶ στάχος ἰνδικόν, σχίνινον ἔλαιον καὶ λάχανον κεκαθαρι-

11 σποδίον

(1) Πρβλ. Die Handschriften der antiken Ärzte. v. Diels. Theil II, S. 23.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΡ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σμένον καὶ χυμὸν εὐπατορίου ἀνὰ ⟨α', σάνδαλ. κίτρινον καὶ κρόκον καὶ κασσίας τὸ διπλοῦν καὶ τραγάκανθαν, μαστίχην ἀνὰ ἐξάγ. ἥμ. κόψας σήσας φύρασον μετὰ χυλοῦ μαράθρου καὶ ποίησον τροχίσκους ἀνὰ ⟨α' καὶ πίετω μεθ' ὕδατος τῶν λαχάνων καὶ ὀξυσάκχαρος.

***Τροχίσκοι τοῦ ἀνίσου,*** ὠφέλιμοι πρὸς τὸ ψυχρὸν ἧπαρ καὶ στόμαχον καὶ πρὸς τοὺς τῶν ὑποχονδρίων ἀνέμους. Λαβὼν ἄνισον κεκαθαρισμένον καὶ ῥόδα ἐρυθρὰ καὶ σπέρμα μαράθρου πλατύ, ἀνὰ ⟨ζ', γλυκύρριζαν κεκαθαρισμένην τὴν ἐπιφάνειαν ⟨ϛ' καὶ χυλὸν γλυκυρρίζης καὶ σχινάνθην, μαστίχην καὶ στάχος ἀνὰ ⟨γ' καὶ χυλὸν εὐπατορίου οὐγγ. β', κόστον γλυκὺν καὶ κασσίας τὸ διπλοῦν καὶ ἄσαρ καὶ ἀψίνθιον ῥωμαϊκὸν καὶ σπόδιον ἀνὰ ⟨β'. Κόψας, σήσας φύρασον μετὰ χυλοῦ σελίνου καὶ γενέσθωσαν τροχίσκοι ἀνὰ ἐξαγ. ἑνὸς καὶ ποθήτω εἰς καθ' ἡμέραν μεθ' ὕδατος τῶν λαχάνων καὶ ὀξυμέλιτος.

***Τροχίσκοι τοῦ εὐπατορίου,*** οἱ καλούμενοι δεκάειδοι, λυσιτελοῦσι πρὸς τὸ ἧπαρ καὶ τὸν στόμαχον καὶ ἀποφράττουσι τὰς ἐμπνευματώσεις καὶ εἰς τὸ ῥῖγος τῶν ἀπὸ φλέγματος πυρετῶν καὶ ταχέως εὐδοκιμοῦσι. Λαβὼν ἀψινθίαν ῥωμαϊκὴν καὶ σχινάνθην καὶ χυλὸν εὐπατορίου, ῥόδα ἐρυθρὰ καὶ μαράθρου σπέρμα καὶ μαστίχην ἀνὰ ⟨δ', ἄνισον καὶ τραγάκανθαν λευκήν, σάνδαλ κίτρινον καὶ σπόδιον λευκὸν ἀνὰ ἐξαγ. ἑνός, κόψας σήσας φύρασον μετὰ χυλοῦ ἰντίβων καὶ ποίησον τροχίσκους ἀνὰ ⟨α' καὶ ποθήτω μεθ' ὕδατος τῶν λαχάνων καὶ ὀξυμέλιτος.

***Τροχίσκοι τῶν ῥόδων,*** δυναμοῦσι τὸ ἧπαρ καὶ τὸν στόμαχον. Λαβὼν φύλλα ῥόδων ἐρυθρῶν ⟨ι, γλυκύρριζαν ⟨ϛ', σχινάνθην καὶ στάχος καὶ μαράθρου σπέρμα κηπευτοῦ καὶ σπόδιον καὶ τραγάκαν-
φύλ. 2 θαν λευκὴν / ἀνὰ ⟨β'. Κόψας, σήσας φύρασον μετὰ χυλοῦ ἰντίβων καὶ ποίησον τροχίσκους ἀνὰ ⟨α' καὶ ποθήτωσαν μεθ' ὕδατος τῶν ροῶν, ἢ μεθ' ὕδατος τῶν λαχάνων.

***Τροχίσκοι τοῦ σποδίου,*** ὠφελοῦσι πρὸς ὀξὺν πυρετὸν καὶ θερμότητα τοῦ ἥπατος καὶ πρὸς τὴν συνεχῆ δίψαν. Λαβὼν ῥόδα ἐρυθρὰ ξηρὰ ἐξάγ. δ'. καὶ σπόδιον λευκὸν καὶ ἀνδράχνης σπέρμα καὶ χυλὸν γλυκυρρίζης ἀνὰ οὐγγ. β', τραγάκανθαν λευκὴν καὶ ἄμυλον ἀνὰ ⟨α', σάκχαρ ἐξάγ. β'. Κόψας, σήσας φύρασον μετὰ χυλοῦ ψυλλίου καὶ ποίησον τροχίσκους ἀνὰ ἐξάγ. Ἡ πόσις εἷς τροχίσκος μετὰ ὕδατος τῶν ῥοῶν.

---

1 εὐπατωρίου 2 τραγακάνθαν 10 εὐπατωρίου 12 σπονδίου
15 εὐπατωρίου 17 τὸ ἀπὸ 19 εὐπατωρίου 20 τραγακάνθαν
26 τραγακάνθαν 33 τραγακάνθαν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

***Τροχίσκοι τῆς καφουρᾶς,*** ψύχουσι τὴν φλόγωσιν καὶ τὴν ἔξαψιν καὶ τὴν θέρμην τοῦ ἥπατος καὶ πρὸς ὀξεῖς πυρετούς. Λαβὼν ῥόδα ἐρυθρὰ ἐξάγ. ϛ΄, σπόδιον καὶ κόμμι καὶ τραγάκανθαν ἀνὰ 〈δ, καφουρὰν 〈ἡμίσ. σπέρμα ἀγγουρίου καὶ τετραγγουρίου ἀπολεπισμένον καὶ σπέρμα ἀνδράχνης καὶ γλυκυρριζῶν ἀνὰ 〈η΄. Κόψας, σήσας φύρασον μετὰ γλίσχρου τοῦ ψυλλίου καὶ ποίησον τροχίσκους, στάθμη τῶν προτέρων, καὶ χρῶ αὐτοῖς, ὡς τοῖς ἄνωθεν.

***Τροχίσκοι τῆς ὀξυακάνθης,*** ὠφελοῦσι πρὸς τὴν τοῦ ἥπα/τος 2ᵛ ἔμφραξιν καὶ τῆς σπληνὸς καὶ πρὸς τὴν ἀρχὴν τοῦ ὄγκου καὶ ἐμφάνισιν τῶν σημείων τῆς θερμότητος. Λαβὼν ὀξυάκανθαν 〈ζ΄, ῥόδα ἐρυθρὰ καὶ σπόδιον καὶ λάχανον κεκαθαρισμένον καὶ κρόκον ἀνὰ 〈α΄ καὶ φούβελ καὶ στάχος καὶ καρεόφυλλον καὶ κόστον γλυκὺν καὶ σχινάνθην ἀνὰ ἐξάγ. γ΄. καὶ ῥέον ἰνδικὸν καὶ σάνδαλ ῥούσιον καὶ σπέρμα μαράθρου ἀνὰ 〈α΄ καὶ σπέρμα κουσύθου 〈ε΄. Κόψας, σήσας φύρασον μεθ' ὕδατος καὶ ποίησον τροχίσκους ἀνὰ 〈α΄ καὶ ποθήτω μετὰ ζωμοῦ μαράθρων καὶ φύλλων ῥαφάνων καὶ ὀξυμέλιτος

***Τροχίσκοι τῶν ἴων.*** Διεθέμην τούτους πρὸς τὸ ἀποπαῦσαι τὴν ζέσιν τῆς χολῆς καὶ καταπραῦναι τὴν φλόγα καὶ τὸ ἧπαρ καὶ τὸν στόμαχον. Κενοῖ δὲ καὶ τοὺς πυρέττοντας ἡ χρῆσις τοῦ βοηθήματος. Λαβὼν ἴα κυανίζοντα οὐγγ. γ΄ καὶ ῥόδα ἐρυθρὰ καὶ σάκχαρ ἀνὰ 〈β΄., σπόδιον λευκὸν καὶ χυλὸν γλυκυρρίζης καὶ σπέρμα ἀνδράχνης, καὶ σάνδαλ λευκόν, σπέρμα σικύου ἀπολεπισμένον καὶ σκαμμωνίαν καὶ μαστίχην ἀνὰ ἐξάγ. ἥμ. Κόψας σήσας φύρασον μεθ' ὕδατος καὶ ποίη-
φ.3ᵛ σον τροχίσκους ἀνὰ μιᾶς 〈· ἡ πόσις εἷς τροχίσκος μετὰ τοῦ σερα/πίου τῶν δαμασκήνων τοῦ ἁπλοῦ ἢ μεθ' ὕδατος τοῦ ἀπομαλάγματος τοῦ ἰνδικοῦ μαράθρου καὶ μείζονος ἢ τὸ μάννα.

***Τροχίσκοι ἕτεροι ἰσχυρότεροι τῶν προηγουμένων.*** Καὶ εἰσὶ λευκοί, λαμβάνονται μετὰ ἐπιτηρήσεως καὶ ἀκριβοῦς διαίτης καὶ ὕδατος θερμοῦ. Λαβὼν τραγάκανθαν λευκὴν 〈ϛ΄, κέρας ἐλάφου 〈γ΄, σπόδιον λευκὸν ἀνὰ 〈γ΄, ὀξύπορον 〈ϛ΄, θρέμμα ζουλαπίου 〈ι΄, σάνδαλ λευκὸν 〈β΄, κασσία γλυκέα καὶ σπέρμα ἀλθαίας ἀνὰ 〈γ΄. Κόψας σήσας τὰ δέοντα. Τὸ δὲ ὀξύπορον χωρὶς ἑνώσας ζύμωσον μετὰ ῥοδοστάγματος καὶ ποίησον τροχίσκους ἀνὰ 〈β΄. Ἡ δόσις εἷς τροχίσκος μετὰ ὕδατος θερμοῦ, ὡς προέφην.

***Τροχίσκοι τῶν τριῶν σανδαλίων.*** Διεθέμην αὐτοὺς πρὸς τοὺς πυρέττοντας καὶ σφοδροτάτην δίψαν καὶ θέρμην τοῦ ἥπατος καὶ τοῦ

---

3 τραγακάνθαν 7 στάθμην 10 ὀξυακάνθαν
16 ἐν τῇ ὥᾳ: χυλοῦ 22 λελεπτισμένον
29 τραγακάνθαν, σποδίον 31 θασσία

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

στομάχου καὶ εἰς τὴν ξηρότητα τῆς γλώττης ἀπὸ τῶν κατὰ κράτος χολωδῶν ἀτμῶν· καὶ εἰσὶν ὀξυδερκεῖς καὶ δεδοκιμασμένοι καὶ πλατύκοιτοι.

Λαβὼν ῥόδα ἐρυθρὰ καὶ σπόδιον καὶ σάκχαρ, ἀνὰ ⟨δ', σάνδαλ κίτρινον καὶ λευκὸν καὶ ἐρυθρὸν καὶ σπέρμα ἀνδράχνης, χυλὸν γλυκυρρίζης ἀνὰ κτλ.

φ. 4 Τροχίσκοι τῶν τριῶν σανδαλίων κενούντων τὸν στόμαχον (¹).
Τροχίσκοι καλούμενοι καμφορᾶτοι.
φ. 4ᵛ » τοῦ σποδίου.
Τροχίσκοι τῶν ῥόδων.
» τοῦ ἀνίσου.
φ. 5 Τροχίσκοι στομαχικοί.
» ὀξυακάνθης, ψιλότεροι τῶν σανδαλίων.
Τροχίσκοι πρὸς κατάπαυσιν τῆς ξανθῆς χολῆς καὶ πυρετὸν τοῦ ἥπατος.
φ. 5ᵛ » πρὸς ἡπατικοὺς τοὺς ἔχοντας θέρμην.
φ. 6 Τροχίσκοι ἡπατικοί.
» διὰ σπερμάτων.
Τροχίσκοι ὠφελοῦντες πρὸς ληθάργους καὶ κεφαλῆς ὀδύνας, τὰς ἀπὸ φλέγματος.
φ. 6ᵛ Τροχίσκων ὑπνωτικῶν σύνθεσις.
Τροχίσκοι δυσώδεις.
φ. 7 » ὠφελοῦντες εἰς τραύματα τὰ ὄντα ἐν τῷ πνεύμονι.
Τροχίσκοι ὠφελοῦντες πρὸς τὰ τοῦ πνεύμονος τραύματα.
» πρὸς αἱμοπτοϊκούς.
φ. 7ᵛ Τροχίσκοι στυπτικοὶ καὶ ξηραντικοί.
» διὰ μήκωνος, ἐκκόπτοντες τὴν τοῦ αἵματος πτύσιν καὶ δυναμοῦντες τὰ τῆς ἀναπνοῆς ὄργανα, ἐπέχοντες καὶ τοὺς κατάρρους.
φ. 8 Τροχίσκοι λυσιτελοῦντες πρὸς πτύσιν αἵματος καὶ ῥῆξιν φλεβῶν ἀπὸ τοῦ στήθους καὶ τοῦ ἥπατος καὶ τῶν νεφρῶν καὶ ἐκ τῆς μήτρας.
» ὠφέλιμοι πρὸς κοιλιακοὺς καὶ στρόφους συνεχεῖς.
Τροχίσκοι ὠφελοῦντες πρὸς κοιλιακοὺς ἐκ τῆς λειεντερίας καὶ τοῦ στομάχου.
φ. 8ᵛ » λυσιτελοῦντες εἰς πᾶσαν νόσον κολλητικήν.

---

1 καταχράτιος

(¹) Ἡ σύνθεσις τῶν ἄνω τροχίσκων παραλείπεται ὧδε.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Τροχίσκοι ψυχρὰν κράτησιν ἔχοντες, πρὸς ῥοῦν κοιλιακὸν καὶ τὴν τοῦ στομάχου ἀδυναμίαν καὶ πρὸς πλῆθος ῥεύσεως. φ. 9

» ἠπιόνιοι ὠφέλιμοι πρὸς τὸ κοιλίαν ἐπέχειν.

Τροχίσκοι λυσιτελοῦντες πρὸς ἀλφούς, λαμπρύνουσι δὲ τὴν ὄψιν.

» καπάρεως ὠφελοῦσι πρὸς τὰ τῆς σπληνὸς οἰδήματα. φ. 9ᵛ

Τροχίσκοι πρὸς πόνον σπληνὸς καὶ σκληρότητα αὐτοῦ.

» τῆς μήκωνος· ὠφελοῦσι πρὸς σφοδροτάτην ἐκφλόγωσιν καὶ πρὸς τὰ τῶν νεφρῶν καὶ τῆς κύστεως. φ. 10

Τροχίσκοι ὠφέλιμοι πρὸς πληγὰς νεφρῶν καὶ τῆς κύστεως.

» ὠφελοῦντες πρὸς αἱμοπτοϊκοὺς οὐροῦντας αἷμα καὶ πύον. φ. 10ᵛ

Τροχίσκοι πρὸς τοὺς αἷμα οὐροῦντας.

» ἐκκόπτοντες τὸ αἷμα καὶ τὸ πύον, τὸ ῥέον ἀπὸ τῶν νεφρῶν. φ. 11

Τροχίσκοι λύοντες τὸ πεπηγὸς αἷμα, τὸ ἐφελκόμενον ἀπὸ ῥήξεως φλεβὸς ἐν τῷ ἥπατι ἢ ἐν τοῖς νεφροῖς.

» ὠφελοῦντες πρὸς τὸν διαβήτην .... λαβών....

(Τέλος) .... καὶ σπέρμα ὀξυλαπάθου καὶ μυρσινόκουκκα, καὶ σπέρμα ἀνδράχνης καὶ ψύλλιον πεφρυγμένα ἀνὰ ⟨β', ἀκακίαν καὶ βολαύστιον καὶ ἄμυλον πεφρυγμένον καὶ σπέρμα ἀγγουρίου καὶ τετραγγουρίου καὶ πέπονος ἀπολελεπισμένα ἀνὰ οὐγ. α' καὶ ἥμισ., καφουρὰν κεράτιον ἕν, καὶ σπέρμα ῥόδων καὶ ἀλθαίας κόκκους καὶ κόκκους κυδωνίων καὶ χυλὸν ὑποκυστίδος καὶ σουὴ καὶ αἷμα δρακόντειον καὶ σπέρμα ἀρνογλώσσου καὶ ῥέον ἰνδικὸν ἀνὰ ⟨β'. Κόψας, σήσας ζύμωσον μετὰ χυλοῦ ψυλλίου τοῦ ἐξερχομένου μετὰ ῥοδοστάγματος καὶ ποίησον τροχίσκους ἀνὰ ⟨α' καὶ ἥμισ. πίνων τοὺς τοιούτους τὰς πρωΐας καὶ πολλάκις τῇ ἑσπέρᾳ μετὰ ζουλαπίου τῶν μυρσίνων ἢ τῶν ῥόδων· ἢ τοῦ ὀμφακίνου μετὰ ὕδατος πολυγόνου ἢ μετὰ ῥοδοστάγματος» (¹). φ. 11ᵛ

Οὕτως ἔχει τὸ α' μέρος τῆς πραγματείας τοῦ Χαρίτωνος, τὸ περὶ τροχίσκων. Τροχίσκοι καλοῦνται ἀπὸ τοῦ διδομένου κατὰ τὴν ἀνάπλασιν αὐτῶν σχήματος φαρμακευτικαί τινες σκευασίαι ἐν χρήσει οὖσαι ἀπὸ ἀρχαιοτάτων χρόνων. Ὁ Ἱπποκράτης αὐτὸς ἀναγράφει «κόλλικας» (²), τροχίσκους ὡς μεταφράζει ὁ Littré (³), ἐντιθεμένους τῇ γυναικὶ πρὸς σύλληψιν.

(¹) Εἶτα ἕπεται τὸ β' κεφάλαιον περὶ κόκκων (φύλ. 11ᵛ).

(²) Ἱπποκράτης, Littré V, 138.

(³) Αὐτόθι 139 § 29.



ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΙΩΑΝΝΙΝΩΝ ΚΕΝΤΡΟΝ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ

Ὁ Γαληνὸς ἐν τῷ περὶ «συνθέσεως φαρμάκων κατὰ γένη» (1) γράφει περὶ τροχίσκων καὶ παραθέτει πλείστας συνθέσεις αὐτῶν, ἃς εὑρίσκομεν ἀναγραφομένας καὶ ὑπὸ τῶν μεταγενεστέρων ἰατρῶν. Οὕτω ὁ Ὀρειβάσιος (2) κατὰ τοὺς βυζαντινοὺς χρόνους ἀναγράφει 14 εἴδη τροχίσκων, ὁ Παῦλος ὁ Αἰγινήτης (3) περὶ τοὺς τεσσαράκοντα, 136 δὲ ὁ Νικόλαος ὁ Μυρεψός (4).

Καὶ οἱ Λατῖνοι δὲ συγγραφεῖς ἀναγράφουσι τροχίσκους, ὡς ὁ Κέλσος (5), ὅστις μνημονεύει 6, ὀνομάζων αὐτοὺς *pastilli*, ἐπιπροσθέτων: «quos τροχίσκους Graeci vocant». Καὶ παρὰ τοῖς Ἄραψι δὲ ἰατροῖς ἐξηκολούθησεν ἡ χρῆσις τῶν τροχίσκων, ὡς δεικνύουσι τὰ ἔργα τοῦ Σαραπίωνος (6), τοῦ Ἀλῆ - Ἀββᾶ (7), τοῦ Μέσσουε (8) καὶ ἄλλων.

Οἱ τροχίσκοι παρεσκευάζοντο ἐκ διαφόρων φαρμακευτικῶν οὐσιῶν, ἰδίᾳ φυτικῶν, αἵτινες μετεβάλλοντο πρῶτον εἰς λεπτὴν κόνιν, ἥτις εἶτα ζυμουμένη μετά τινος χυμοῦ, σιροπίου ἢ ἄλλης γλίσχρου οὐσίας εἰς μᾶζαν, ἐτεμαχίζετο εἰς μικρὰ τμήματα στρογγύλα, τρίγωνα ἢ τετράγωνα, ἀφιέμενα πρὸς ξήρανσιν πρὸ τῆς ἀποθηκεύσεως. Οὐδεμία ποτὲ ἐλαιώδης οὐσία προσετίθετο τοῖς τροχίσκοις.

Οἱ τροχίσκοι ἦσαν τριῶν εἰδῶν. Οἱ μὲν ἐδίδοντο ἐσωτερικῶς (τρ. πότιμοι) πρὸς στύψιν κοιλίας, κατὰ αἱμορραγιῶν ἢ πρὸς ἀποσυμφόρησιν ἢ παῦσιν πόνων κοιλιακῶν σπλάγχνων, οἱ δὲ ἐνίεντο (τροχ. ἐνετικοὶ) μετὰ διάλυσιν ἐν χυλῷ πτισάνης, ἢ χυλῷ πιτύρων κτλ. κατὰ δυσεντερίας, αἱμορραγίας ἢ πρὸς στύψιν κοιλίας, τρίτοι δέ τινες ἦσαν ἐν χρήσει ἐξωτερικῇ (τροχ. κατάχριστοι) κατὰ διαφόρων ἐξανθημάτων, οἷον ἕρπητος, ἑλκῶν ἢ πρὸς καῦσιν ἀνθράκων, πτερυγίων, σαρκωμάτων κτλ. (9).

Οἱ τροχίσκοι ἐχαρακτηρίζοντο τοῦτο μὲν ἐκ τοῦ σχήματος αὐτῶν (τρίγωνοι (10) κτλ.), τοῦτο δὲ ἐκ τῆς περιεχομένης κυρίας καὶ ἐνεργοῦ οὐσίας (τροχίσκος κροκώδης (11), ῥόδων, θαψίας, κοραλλίου, ἠλέκτρου

---

(1) Γαληνὸς Βιβλ. Ε'., Kühn τόμ. XIII, 824 - 837.
(2) Ὀρειβάσιος, Daremberg - Ruelle V, 128 - 131.
(3) Παῦλος ὁ Αἰγινήτης Βιβλ. VII, 12.
(4) Πρβλ. Κώδικα 2243 Ἐθν. Βιβλιοθήκης Παρισίων φύλ. 479v καὶ ἐφεξῆς.
(5) Celsus, de re medica, Lib. V, cap. 20.
(6) VII, 18.
(7) Pract. X, 14.
(8) I, 8.
(9) Ὀρειβάσιος, ἔνθ. ἀνωτ. τόμ. II, σελ. 438 καὶ Παῦλος Αἰγινήτης βιβλ. VII, κεφ. 12.
(10) Ἀλέξανδρος ὁ Τραλλιανός, Puschmann I, 507.
(11) Αὐτόθι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΕΥΘΥΝΣΗ ΒΙΒΛΙΟΘΗΚΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κτλ.), ἀλλὰ καὶ τοῦ ὀνόματος τοῦ ἐφαρμόσαντος ἢ συνθέσαντος αὐτοὺς ἰατροῦ (τροχίσκος Ὀρειβασίου, Φιλίππου, Πολυείδου, Μούσα, Ἄνδρωνος, Ἀσκληπιάδου κτλ.).

Περὶ τοῦ συγγραφέως Χαρίτωνος οὐδὲν σαφὲς γινώσκομεν. Ὁ Γαληνὸς ἀναφέρει Χαρίτωνά τινα ὀχλαγωγόν, πιθανῶς τῶν μέσων τοῦ α΄ μ. Χ. αἰῶνος, ἐφευρέτην φαρμάκου κατὰ τῶν δηγμάτων τῶν φαλαγγίων, ὅστις «περιήκων τὰς πανηγύρεις, ἀρήγειν ἐβούλετο τοῖς δακνομένοις» (1). Τὸ ὄνομα Χαρίτων (Marcus Julius Chariton) εὕρηται καὶ ἐπὶ σφραγῖδος ὀφθαλμιατροῦ Ρωμαίου, τῆς γ΄ μ. Χ. ἑκατονταετηρίδος (2).

(1) Γαληνὸς Kühn XIV, 180.

(2) *Grotefend,* Die Stempel der röm. Augenärzte, σελ. 63. Ὅρα καὶ *Wellmann* ἐν Pauly-Wissowa's Real Encyclopädie ἐν λέξ. Χαρίτων.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ...
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006